www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΑΘΑΝΑΣΙΟΥ

## ΤΟΥ ΕΚ ΠΥΡΓΟΥ (ΚΟΥΛΙΑΚΙΑΣ)

ΚΑΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΩΝ ΟΙΚΩΝ, ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΩΝ
ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

ΒΕΡΡΟΙΑ 1980

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΕΚ ΠΥΡΓΟΥ (ΚΟΥΛΙΑΚΙΑΣ)

## ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΚΑΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΩΝ ΟΙΚΩΝ ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΩΝ

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑ π ὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΑΘΑΝΑΣΙΟΥ

## ΤΟΥ ΕΚ ΠΥΡΓΟΥ (ΚΟΥΛΙΑΚΙΑΣ)

### ΚΑΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΩΝ ΟΙΚΩΝ, ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΩΝ ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

ΒΕΡΡΟΙΑ 1980

www.tezaurliturgic.ro

ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Π ρ ὸ ς

Τὸν Σεβασμιώτατον Μητροπολίτην

Βερροίας καὶ Ναούσης κ. Παῦλον

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ' ὄψει τὰς ὑποβληθείσας ἡμῖν, διὰ τοῦ ὑπ' ἀριθμ. Πρωτ. 165/1-6-1979 ὑμετέρου ἐγγράφου ἀκολουθίας, α) τοῦ Ὁσίου Ἀντωνίου, Πολιούχου Βερροίας, β) τοῦ Ἁγίου Νεομάρτυρος Ἀθανασίου τοῦ ἐκ Πύργου, γ) τῆς Ὁσιομάρτυρος Ἱερουσαλὴμ καὶ παρακλητικὸν Κανόνα εἰς τὸν Ὅσιον Θεοφάνην, πολιοῦχον Ναούσης, ποιηθείσας ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Γόρτυνος καὶ Μεγαλοπόλεως κ. Θεοφίλου, Προέδρου τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου τῆς 122ας Συνοδικῆς Περιόδου, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 4-9-1979, ἐγκρίνομεν ταύτας ὡς καλῶς ἐχούσας καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐταῖς καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῶν ἐκδοθησομένων ἀνωτέρω Ἀκολουθιῶν διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου καὶ Θείας Λατρείας.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

† Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος

Ὁ Ἀρχιγραμματεὺς

† Ἀρχιμ. ΙΕΡΩΝΥΜΟΣ ΛΙΑΠΗΣ

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

*Ἡ Ἀποστολικὴ Ἐκκλησία τῆς Βερροίας σεμνύνεται καὶ καυχᾶται, διότι ἔχει νὰ ἐπιδείξῃ χορείαν ἁγίων τοῦ Χριστοῦ, οἵτινες ὡς ἀστέρες πάμφωτοι καταλάμπουσιν ἐν τῷ νοητῷ στερεώματι τῆς Ἁγίας Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας. Μετὰ βαθυτάτης εὐλαβείας κλίνομεν τὰ γόνατα τῆς ψυχῆς καὶ τοῦ σώματος πρὸ τῆς σεπτῆς εἰκόνος τοῦ Νεομάρτυρος Ἀθανασίου τοῦ Κουλιακιώτου, ὅστις ὑπέστη τὸν δι' ἀγχόνης θάνατον ἐν Θεσσαλονίκῃ τὴν 8ην Σεπτεμβρίου τοῦ ἔτους 1774 ἀπόφοιτος ὢν τῆς Ἀθωνιάδος Σχολῆς. Ἀγάλλεται καὶ χαίρει ἡ γενέτειρά του Χαλάστρα —ἄλλοτε ἕδρα τῆς Ἐπισκοπῆς Καμπανίας— διότι ἔχει τοιοῦτον προστάτην καὶ βοηθόν.*

*Ὁ σκοπὸς τῆς παρούσης ἐκδόσεως τῆς Ἀκολουθίας τοῦ Νεομάρτυρος Ἀθανασίου τοῦ Κουλιακιώτου, εἶναι διττός: πρῶτον ἡ ὀφειλομένη τιμὴ πρὸς τὸν Νεομάρτυρα καὶ ἡ δόξα τοῦ Χριστοῦ καὶ δεύτερον ἡ ἀναζωπύρωσις τοῦ φρονήματος τῶν εὐσεβῶν χριστιανῶν τῆς Μητροπολιτικῆς ἡμῶν Περιφερείας.*

*Προσφέροντες τὴν παροῦσαν ἀκολουθίαν, —ἡ ὁποία ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας— εἰς τὸ εὐσεβὲς καὶ ἀγαπητὸν ἡμῶν ποίμνιον καὶ εἰς πάντα εὐσεβῆ, ἐπικαλούμεθα ἐπ' αὐτοὺς τὴν χάριν καὶ τὴν εὐλογίαν τοῦ Κυρίου, διὰ πρεσβειῶν τοῦ Νεομάρτυρος Ἀθανασίου.*

*Ἔγραφον ἐν τῷ Ἱερῷ Ἐπισκοπείῳ Βερροίας τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως 1980.*

*† Ὁ Βερροίας, Καμπανίας καὶ Ναούσης*
*ΠΑΥΛΟΣ*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

## ΣΕΠΤΕΜΒΡΙΟΥ η΄

# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΚΟΥΛΙΑΚΙΩΤΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀθανασίας τῷ στέφει καλλωπιζόμενος, καὶ τῶν Μαρτύρων δήμοις, ἀγαλλόμενος Μάρτυς, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν, Ἀθλητὰ Ἀθανάσιε, τῶν ἐκτελούντων τὴν μνήμην σου τὴν σεπτήν, καὶ τιμώντων σου τὴν ἄθλησιν.

Ἀθανασίας τὴν χάριν καὶ τὴν λαμπρότητα, ἐν τῇ ζωῇ ἐκφαίνων, καθαρότητι τρόπων, νομίμως ἠγωνίσω ὑπὲρ Χριστοῦ, Ἀθλητὰ Ἀθανάσιε, τῆς ἀσεβείας τὸ φρύαγμα καθελών, τῇ ἐνστάσει σου πανεύφημε.

Ἀθανασίας τὴν τρίβον βαδίζων ἔνδοξε, τῆς ἀθανάτου δόξης, κοινωνὸς ἀνεδείχθης, ἀνδρείως ὑπομείνας ὑπὲρ Χριστοῦ, δι᾽ ἀγχόνης τὸν θάνατον. Ἀλλὰ δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, Νεομάρτυς Ἀθανάσιε.

www.tezaurliturgic.ro



Ἀθανασίας ἐκλάμπων ταῖς ὡραιότησι, τῇ σῇ πατρίδι δίδου, τὴν θερμὴν ἀρωγήν σου, ὡς ἔχων παρρησίαν πρὸς τὸν Χριστόν, Ἀθλητὰ Ἀθανάσιε· ὅτι ἐν σοὶ ἐγκαυχᾶται περιφανῶς, καὶ γεραίρει σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος δ΄.

Ἀγάπῃ θείᾳ νευρούμενος, τῆς εὐσεβείας τὸ κράτος ὑπέδειξας, ἀθλητικῇ ἐνστάσει, Νεομάρτυς Ἀθανάσιε· ἀνδρείως γὰρ προείλου τὸ θανεῖν ὑπὲρ Χριστοῦ, ἢ πρόσκαιρον ἔχειν, ἁμαρτίας ἀπόλαυσιν, ὑπερφρονήσας πάντων τῶν γεηρῶν, οὐρανίῳ φρονήματι· καὶ νῦν ἀθλητικῆς εὐκλείας τυχών, ὑπὲρ ἡμῶν Χριστὸν ἱκέτευε, Ἀθλητὰ μακάριε.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τὴν πάνσεπτόν σου Γέννησιν, Παναγία Παρθένε Ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος, ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας, τοῦ Ποιητοῦ τῶν ἁπάντων, Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε Πανύμνητε καὶ Ἀπειρόγαμε.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Νέος ἐν Ἀθληταῖς, ὑπὲρ Χριστοῦ ἀθλήσας, ἐν τοῖς ὑστέροις χρόνοις, ὡς ἀληθῶς ἐδείχθης, θεόφρον Ἀθανάσιε.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος...

Ἄνθος ὑπεριδών, νεότητος ἐμφρόνως, ὑπὲρ Χριστοῦ προθύμως, τὸν θάνατον ἐδέξω, θεόφρον Ἀθανάσιε.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Χαίρει ἡ σὴ πατρίς, τελοῦσα σου τὴν μνήμην, καὶ τῷ σεπτῷ ναῷ σου, ἐν πίστει προσιοῦσα, θεόφρον Ἀθανάσιε.

Δόξα. Τριαδικόν.

Ἄναρχε Παντουργέ, Τρισήλιε Θεότης, λιταῖς Ἀθανασίου, τοῦ νέου Ἀθλοφόρου, εἰρήνευσον τὸν κόσμον σου.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Βλάστημα εὐκλεές, ἐξ Ἄννης ἀνεφύης, Παρθένε Θεοτόκε· διὸ τὴν Γέννησίν σου, χρεωστικῶς δοξάζομεν.

Νῦν ἀπολύεις· τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς οὐράνιον φρόνημα, ἐσχηκὼς ἐν νεότητι, τὸν ἀγῶνα ἤνυσας τῆς ἀθλήσεως, μεγαλοφρόνως καὶ ᾔσχυνας, τὸν δόλιον δράκοντα, καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον, Ἀθανάσιε· διὰ τοῦτο τελοῦμέν σου τὴν μνήμην, ὡς Χριστοῦ σε Ἀθλοφόρον, καὶ ἀριστέα γεραίροντες.

Εὐσεβείας τοῖς δόγμασι, τεθραμμένος μακάριε, καὶ σοφίας χάριτι σεμνυνόμενος, ὡς νεανίας θεόληπτος, οὐδόλως ὑπέκυψας, ἀσεβούντων τῇ βουλῇ, ἀλλ᾽ ἀνδρείως ἐκήρυξας, Ἀθανάσιε, τοῦ Σωτῆρος τὸ ὄνομα τὸ μέγα, ὑπὲρ οὗ καὶ τὴν ἀγχόνην, Μάρτυς ὑπέστης γηθόμενος.

Οὔτε ἄνθος νεότητος, οὐ τιμῶν ἡ ἀπόλαυσις, οὔτε δόξα πρόσκαιρος οὔτε θάνατος, τῆς τοῦ Σωτῆρος ἀγάπης σε, χωρίσαι δεδύνηνται, Ἀθανάσιε στερρέ· σὺ γὰρ πάντων ἀνώτερος ἀναδέδειξαι, ἐν τῇ πίστει Κυρίου καὶ ὑπῆλθες, τῶν Μαρτύρων τοὺς ἀγῶνας, ἀκαταπλήκτῳ φρονήματι.

Ὥσπερ ῥόδον πανεύοσμον, καὶ φυτὸν εὐθαλέστατον, καὶ ὡραῖον ὅρπηκα Ἀθανάσιε, ἀθανασίας καὶ χάριτος, καὶ Μάρτυρα ἔνδοξον, καὶ γενναῖον Ἀθλητήν, τῆς Χριστοῦ παρατάξεως, εὐφημοῦμέν σε, ἐναθλήσαντα χρόνοις ἐν ὑστέροις, καὶ αἰσχύναντα τὴν πλάνην, τῇ ψυχικῇ σου στερρότητι.

Ταῖς βολῖσι τῶν λόγων σου, τοὺς ἀπίστους κατέτρωσας, καὶ Χριστοῦ τὸ ὄνομα ἐμεγάλυνας, καὶ μαρτυρίου τὸν δίαυλον, τελέσας ἀνέδραμες, νικηφόρος πρὸς Χριστόν, δι᾽ ἀγχόνης δεξάμενος, τέλος ἅγιον, Ἀθανάσιε νέε Ἀθλοφόρε, καὶ Μαρτύρων ταῖς χορείαις, περιφανῶς συνηρίθμησαι.

www.tezaurliturgic.ro



Ὥσπερ ἅγιον βλάστημα, καὶ λαμπρὸν ἐγκαλλώπισμα, καὶ μεσίτην μέγιστον πρὸς τὸν Κύριον, ἡ σὲ βλαστήσασα Ἅγιε, γεραίρει κωμόπολις, καὶ ναόν σοι ἱερόν, εὐλαβῶς ἀνεγείρασα, ἑορτάζει σου, Ἀθανάσιε μνήμην τὴν ἁγίαν, τὴν θερμήν σου προστασίαν, ἐκδεχομένη ἑκάστοτε.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὁ νέος Ἀθλητὴς Ἀθανάσιος, ἀθανάτοις δωρεαῖς πεποικιλμένος, ὡς ἑωσφόρος φαεινός, τῇ Ἐκκλησίᾳ ἀνέτειλε· τῷ φωτὶ γὰρ τοῦ Χριστοῦ, καταυγασθεὶς τὴν καρδίαν, τὴν ὁδὸν τοῦ μαρτυρίου ἀπροσκόπτως ὥδευσε, καὶ τῶν παγίδων τοῦ σκότους ἐρρύσθη, ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως· ζήλῳ εὐσεβείας γὰρ πυρωθείς, τῶν πάλαι Μαρτύρων ὁμότροπος ὤφθη, τῶν ἀντικειμένων καθελὼν τὸ φρύαγμα· καὶ διὰ θανάτου, τὴν ἀθάνατον ζωὴν δρεψάμενος, τῆς αἰωνίου δόξης ἠξίωται, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις, ἐπαναπαυόμενος Θεός, θρόνον ἅγιον ἐπὶ γῆς, ἑαυτῷ προητοίμασεν· ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανούς, οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν· ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν, τὴν Μητέρα αὐτοῦ. Ὁ τῶν θαυμασίων Θεός, καὶ τῶν ἀνελπίστων ἐλπίς, Κύριε δόξα σοι.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ΄ 9).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστά, ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ

www.tezaurliturgic.ro



οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ' 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε' 5, στ' 1).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κα-

www.tezaurliturgic.ro



κοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἀγάλλου ἐν Κυρίῳ, ἡ κωμόπολις Πύργος, Ἀθανάσιον τὸν νέον Ἀθλητήν, ὡς ἄνθος εὐωδέστατον, τῇ Ἐκκλησίᾳ προβάλλουσα· τῆς ἐν Χριστῷ γὰρ εὐσεβείας γεωργήσας τοὺς καρπούς, τῆς ἀσεβείας καθεῖλε τὴν ἰσχύν, μηδόλως φεισάμενος, τῆς οἰκείας ζωῆς· καὶ ὡς θῦμα καθαρόν, Κυρίῳ προσενεχθείς, ἀπαύστως πρεσβεύει, διδόναι ἡμῖν ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Τῇ θύραθεν γνώσει, ἐπιμελῶς ἐκπαιδευθείς, ἐν τῷ νόμῳ Κυρίου, τὰς πορείας κατεύθυνας, Ἀθλητὰ Ἀθανάσιε· καὶ ἐν τῷ θείῳ θελήματι, τὰς κινήσεις ρυθμίζων τοῦ νοός, πάντα ὡς σκύβαλα ἡγήσω, δόξαν φθαρτὴν καὶ σώματος ἀκμήν, καὶ προθύμως προέκρινας, τὸ ὑπὲρ Χριστοῦ μαρτύριον· καὶ γεηραῖς ἐπαγγελίαις μὴ χαυνωθείς, τυραννικῶν ἀπειλῶν ἀνώτερος ὤφθης, ἀθλητικῇ ἀνδρείᾳ καλλωπιζόμενος. Ἀλλ' ὦ Μάρτυς τοῦ Χριστοῦ, δόξα καὶ τιμὴ τῆς σῆς πατρίδος, μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Νεανικὴν ἄγων ἡλικίαν, μαρτυρικὴν ἐπεδείξω ἀνδρείαν, σεαυτὸν ἀπαρνησάμενος, Νεομάρτυς Ἀθανάσιε· καὶ τὴν καλὴν ὁμολογήσας ὁμολογίαν, τῶν τῆς Ἄγαρ υἱῶν ἐφαύλισας τὸ φρόνημα, ὡς υἱὸς τοῦ φωτός, καὶ τῶν πάλαι Μαρτύρων μιμητής, καὶ τῆς ἀληθοῦς σοφίας, ἐραστὴς μακάριε. Καὶ νῦν μαρτυρικῆς ἠξιωμένος λαμπρότητος, σκότους παθημάτων ἀπάλλαξον, τούς σε φαιδρῶς γεραίροντας.

Ἦχος δ΄.

Τοῦ φωτὸς ἐνδεδυμένος τὰ ὅπλα,. τὸν τοῦ σκότους κατηγωνίσω ἄρχοντα, μαρτυρικοῖς ἀγῶσι, Νεομάτυς Ἀθανάσιε· νεότητος γὰρ ὥραν ὑπεριδών, τὴν ἀληθῆ εὐκληρίαν ἐξεζήτησας, ἣν Χρι-

www.tezaurliturgic.ro



στὸς παρέχει, τοῖς ἀγαπήσασιν αὐτόν, καὶ τοῖς ἴχνεσιν αὐτοῦ, πορευθεῖσιν ἀκλινῶς· καὶ τὸν δι' ἀγχόνης μὴ δείσας θάνατον, τὴν τοῦ πόθου πλήρωσιν εὗρες, ἀθανάτου ζωῆς ἀξιωθείς. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, 'Αθλητὰ μακάριε.

Δόξα. Ἦχος πλ. δ'.

Ἐν ἀνδρείῳ παραστήματι, καταπλήξας τὸν ἐχθρόν, ἀθλητικῶς ἐδόξασας, 'Αθλητὰ 'Αθανάσιε· τῇ γὰρ πλάνῃ μὴ ὑπενδούς, δυνατωτέραν πᾶσιν ἔδειξας, τῆς εὐσεβείας τὴν δύναμιν, ἐν ὥρᾳ νεότητος, τὸν ὑπὲρ Χριστοῦ θάνατον ἡδέως δεξάμενος. Καὶ νῦν ἀθανάτων ἀμοιβῶν, κοινωνὸς χρηματίζων, ἱκέτευε δεόμεθα, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν σαλπίσωμεν, πνευματικῇ κιθάρᾳ· ἡ γὰρ ἐκ σπέρματος Δαβίδ, σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς, τὸ σκότος λύουσα· τοῦ 'Αδὰμ ἡ ἀνάκλησις, τῆς ἀφθαρσίας ἡ πηγή, καὶ τῆς φθορᾶς ἀπαλλαγή, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν· καὶ βοήσωμεν αὐτῇ, σὺν τῷ Γαβριὴλ οἱ πιστοί. Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, διὰ σοῦ χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, τῆς κωμοπόλεως τοῦ Πύργου ἀγλάϊσμα, τὸ κλέος τῆς Καμπανίας, καὶ πρὸς Θεὸν πρεσβευτής· Μακεδόνων νέον ἐγκαλλώπισμα, κλεινὲ 'Αθανάσιε, 'Αθλητῶν ἰσοστάσιε· εὔχρηστον σκεῦος, τῆς σοφίας τῆς θύραθεν, καὶ τῆς ἄνωθεν, ἐπιπνοίας θησαύρισμα· κρίνον τὸ εὐωδέστατον, καὶ ῥόδον μυρίπνοον, τὸ κατευφραῖνον καρδίας, τῇ εὐωδίᾳ τῆς χάριτος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος...

Γνώσει κεκοσμημένος λαμπρᾷ, ὥσπερ ἀγχίνους νεανίας μακάριε, τὸν δόλον τοῦ παλαμναίου, σοφῷ διέγνως νοΐ, καὶ ἐχθρῶν ἀπώσω ἅπαν δέλεαρ· ἐντεῦθεν διέδραμες, μαρτυρίου τὸ στάδιον, τὴν τῶν Μαρτύρων, ἀρετὴν ἐκμιμούμενος, 'Αθανάσιε, ἀνενδότῳ

www.tezaurliturgic.ro



φρονήματι· ὅθεν τῆς δόξης μέτοχος, αὐτῶν ἀναδέδειξαι, καλῶς τελέσας τὸν δρόμον, τῆς ἱερᾶς σου ἀθλήσεως, μεθ' ὧν καὶ δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Χαίροις ὁ δι' ἀγάπην Χριστοῦ, ἄνθος νεότητος καὶ δόξαν τὴν ῥέουσαν, καὶ πάντα τὰ ἐν τῷ κόσμῳ, ἡδέα τε καὶ τερπνά, οὐρανίῳ πόθῳ ἀπωσάμενος, κλεινὲ Ἀθανάσιε, καὶ προθύμως δεξάμενος, τὸν δι' ἀγχόνης, βιαιότατον θάνατον· ὅθεν ἔδραμες, πρὸς ζωὴν τὴν ἀθάνατον, στέφος τὸ ἀμαράντινον, ἀξίως δεξάμενος, ἐκ τῆς χειρὸς τοῦ Κυρίου, ὡς Ἀθλοφόρος περίδοξος· ὃν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Ἀθλητικὴν ἀνθηφορήσας δόξαν, εὐσεβείας ἀρότρῳ, καρποὺς ἡδίστους τῇ Ἐκκλησίᾳ προσάγεις, Νεομάρτυς Ἀθανάσιε· ὧν ὁ θεῖος γλυκασμός, πλάνης πικρίαν ἀποπαύει, καὶ τῶν πιστῶν διεγείρει τὰς ψυχάς, πρὸς μετοχὴν τῆς θείας χρηστότητος· νομίμως γὰρ ἤθλησας, τὸν κάλλιστον ἀγῶνα, καὶ ἐπαξίως δεδόξασαι, ἀθανάτοις ἀμοιβαῖς, Χριστὸν ἡμῖν ἱλεούμενος, Ἀθλητὰ μακάριε.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Δεῦτε ἅπαντες πιστοί, πρὸς τὴν Παρθένον δράμωμεν· ἰδοὺ γὰρ γεννᾶται, ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ, τὸ τῆς παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, τῶν Προφητῶν τὸ κήρυγμα, καὶ τῶν Δικαίων, Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα. Γεννᾶται τοίνυν, καὶ ὁ κόσμος σὺν αὐτῇ ἀνακαινίζεται. Τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται. Ὁ ναὸς ὁ ἅγιος, τὸ τῆς θεότητος δοχεῖον, τὸ παρθενικὸν ὄργανον, ὁ βασιλικὸς θάλαμος, ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτως ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη μυστήριον· ὃν προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον γέννησιν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς θύραθεν σοφίας κεκτημένος τὰς χάριτας, ἐνήθλησας νομίμως, Ἀθλητὰ Ἀθανάσιε, καὶ ᾔσχυνας τῆς πλάνης τὴν ὀφρῦν.

www.tezaurliturgic.ro



τὸ ὄνομα δοξάσας τοῦ Χριστοῦ· διὰ τοῦτο πάσης βλάβης καὶ ἀναγκῶν, λυτροῦσαι τοὺς βοῶντάς σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τοῦ Πύργου ἀγλάϊσμα, καὶ Καμπανίας πυρσός, ἐδείχθης ὡς ἤθλησας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, κλεινὲ Ἀθανάσιε· ὅθεν ὡς πολιοῦχον, εὐφημοῦντές σε Μάρτυς, δεόμεθα τοῦ πρεσβεύειν, τῷ Σωτῆρι τῶν ὅλων, ὑπὲρ τῶν ἀνυμνούντων, τὴν θείαν σου ἄθλησιν.

Τῆς Ἑορτῆς, ὁ αὐτός.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν, ζωὴν τὴν αἰώνιον.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς νέον Ἀθλητήν, καὶ Χριστοῦ στρατιώτην, ὑμνοῦμέν σε φαιδρῶς, Ἀθανάσιε Μάρτυς, τὴν μνήμην σου γεραίροντες, καὶ πιστῶς ἐκβοῶμέν σοι· Ἀεὶ πρέσβευε, τῷ Ἀθλοθέτῃ Κυρίῳ, δοῦναι ἔλεος, καὶ τῶν πταισμάτων τὴν λύσιν, τοῖς σὲ μακαρίζουσι.

Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαβίδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδού, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστὸς ὁ νέος Ἀδάμ, ἐτέχθη βασιλεύς, ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον ὁ ἔχων, τὴν βασιλείαν ἀσάλευτον· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ὡς νεόφωτον ἄστρον κόσμῳ ἀνέτειλας, Ἀθανάσιε Μάρτυς ἐκ Μακεδόνων τῆς γῆς, καὶ πυρσεύεις τῷ φωτὶ τῆς σῆς ἀθλήσεως, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἑορτάζουσαν λαμπρῶς, τὴν μνήμην σου τὴν ἁγίαν, καὶ τὸν Σωτῆρα ὑμνοῦσαν, τὸν στεφανώσαντά σε Ἅγιε.

Δόξα, καὶ νῦν. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαβίδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν, καὶ νεουργεῖται ἡ σύμπασα καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ· αἰνέσατε αὐτήν, αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται καὶ Ἄννα, πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.

Τὸ δι' ἀγχόνης ὑποστὰς ἅγιον τέλος, ὑπὲρ ἀγάπης τοῦ Σωτῆρος Ἀθλοφόρε, τοῦ Βελίαρ ἀπηγχόνισας τὰς δυνάμεις, καὶ χαίρων πρὸς τὰς οἰκήσεις τῶν οὐρανῶν, ἀνῆλθες τροπαιοφόρος καὶ Ἀθλητῶν, ταῖς χορείαις ἠρίθμησαι, καθικετεύων ἐκτενῶς, ὑπὲρ τῶν ἐκβοώντων σοι· χαίροις Μάρτυς Ἀθανάσιε.

Δόξα, καὶ νῦν. Ὅμοιον. Τῆς Ἑορτῆς.

Ἀγαλλιάσθω οὐρανὸς γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανὸς ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ, Ράβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ρίζης Δαβίδ. Ὄντως θαῦμα παράδοξον!

Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Εὐαγγέλιον τὸ ἐν τῷ ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τῆς ἀληθείας τῇ γνώσει ὠχυρωμένος τὸν νοῦν, τῆς ἀπάτης καθεῖλες τὸ ὀχύρωμα, τῷ μοχλῷ τῶν ἀγώνων, Ἀθλητὰ Ἀθανάσιε· καὶ τῆς ἀθανασίας τῷ φωτὶ ἀτενίζων, τὰ τοῦ σκότους διέβης προσκόμματα, καὶ ταῖς τῶν Ἁγίων προσεχώρησας λαμπρότησι· μεθ' ὧν πρέσβευε Κυρίῳ, Νεομάρτυς ἔνδοξε, τοὺς σὲ μακαρίζοντας.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου, φέροντες τηνδε ἀκροστιχίδα.

«Ἀθανάσιε χαῖρε πολλάκις. Γερασίμου».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀθάνατον εὔκλειαν, ἀπολαβὼν Ἀθανάσιε, φωτί με καταύγασον, τῆς σῆς λαμπρότητος, ἵνα μέλψω σου, τὴν φωτοφόρον μνήμην, καὶ τὰ τῆς ἀθλήσεως, Μάρτυς παλαίσματα.

www.tezaurliturgic.ro



Θεὸν τὸν ἀθάνατον, Χριστὸν τὸν πάντων δεσπόζοντα, ἐμφρόνως ἠγάπησας, νοῦ καθαρότητι, καὶ ἐνήθλησας, ὑπὲρ αὐτοῦ ἀνδρείως, στερρὲ Ἀθανάσιε, ὑστέροις ἔτεσιν.

Ἀγάλλεται σήμερον, ἡ σὴ πατρὶς Ἀθανάσιε, τελοῦσα τὴν μνήμην σου, καὶ ἐκβοῶσά σοι· Σύ μου καύχημα, καὶ τεῖχος Νεομάρτυς· διό με ἀπάλλαττε, πάσης στενώσεως.

Θεοτοκίον.

Ναὸς φωτοστόλιστος, καὶ φωτοφόρον παλάτιον, τοῦ πάντων δεσπόζοντος, οὖσα. Πανάμωμε, οἶκον δεῖξόν με, αὐτοῦ τῆς ἐνεργείας, τὸν νοῦν μου καθαίρουσα, πάσης φαυλότητος.

Καταβασία. Σταυρὸν χαράξας...

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἀστὴρ ὡς νεόφωτος ἐκλάμπεις, ἀθλήσας στερρῶς ὑπὲρ Χριστοῦ, τῇ Ἐκκλησίᾳ ἔνδοξε, καὶ ἄθλων ταῖς λαμπρότησι, πυρσεύεις Ἀθανάσιε, τῶν εὐσεβῶν τὰ πληρώματα.

Στερρῶς ἀντετάξω τοῖς διώκταις, ἐρείσας τὰς βάσεις τῆς ψυχῆς, τῇ πέτρᾳ τῇ τῆς πίστεως, θεόφρον Ἀθανάσιε, καὶ τὴν ἀγχόνην ἤνεγκας, ὑπὲρ Χριστοῦ καρτερώτατα.

Ἰδοὺ ἡ πατρίς σου Νεομάρτυς, τελεῖ ἐν ᾠδαῖς πνευματικαῖς, τὴν φωτοφόρον μνήμην σου, τοὺς ἄθλους σου γεραίρουσα, δι' ὧν Χριστὸν ἐδόξασας, μαρτυρικῶς Ἀθανάσιε.

Θεοτοκίον.

Ἐτέχθη ἁγνῶν σου ἐξ αἱμάτων, ὁ Λόγος Πατρὸς ὁ συμφυής, δίχα τροπῆς καὶ φύρσεως, καὶ ἀλογίαν ἅπασαν, τὴν τῆς ἀρᾶς ἰάσατο, ἡμῶν δι' ἔλεος Ἄχραντε.

Καταβασία. Ῥάβδος εἰς τύπον...

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Νέος ὤφθης Ἀθλητής, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἀριστεύσας εὐσεβῶς, καὶ καταισχύνας τὸν ἐχθρόν, τῇ σῇ ἀθλήσει Ἀθανάσιε θεόφρον· ὅθεν ὁ Χριστός, ὁ τοὺς ἀγῶνας σου, δεξάμενος σοφές, στέφει ἀφθάρτῳ σε, περιφανῶς κατέστεψε παμμάκαρ, καὶ θείᾳ δόξῃ ἐδόξασεν· ὃν ἐκδυσώπει, ὑπὲρ τῶν πίστει, ἑορταζόντων τὴν μνήμην σου.

www.tezaurliturgic.ro



Δόξα, καὶ νῦν. Ὅμοιον. Τῆς Ἑορτῆς.

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. Οὐκέτι ὁ Ἀδὰμ κατακρίνεται· ἡ Εὔα τῶν δεσμῶν ἠλευθέρωται· καὶ διὰ τοῦτο κράζομεν βοῶντες, ἐν παρρησίᾳ τῇ μόνῃ Ἁγνῇ· Χαρὰν μηνύει, ἡ γέννησίς σου, πάσῃ τῇ οἰκουμένῃ.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Χαίρων ἔστης πρὸ τυράννων, Ἀθλητὰ Ἀθανάσιε, μηδαμῶς τὸ τούτων, κράτος καὶ μανίαν πτοούμενος, καὶ τοῦ Σωτῆρος ἐκήρυξας τὸ ὄνομα, πρὸς ὃν ἔκραζες· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἄγει Μάρτυς ἡ πατρίς σου, ἐν τῇ θείᾳ ἀθλήσει σου, ἑορτὴν ἁγίαν, τῇ σῇ προστασίᾳ προστρέχουσα, ἣν ἀπὸ πάσης διάσωζε κακώσεως, Ἀθανάσιε, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου.

Ἰσχὺν θείαν κεκτημένος, ἐν νεότητι σώματος, τὴν ἰσχὺν τῆς πλάνης, καὶ τὴν τοῦ ἀλάστορος δύναμιν, καταπεπάτηκας Μάρτυς Ἀθανάσιε,· πρὸς ἀθάνατον, σπεύδων ζωὴν καὶ λαμπρότητα.

Θεοτοκίον.

Ρυπωθεὶς ταῖς ἁμαρτίαις, τὴν ψυχήν μου ἐμόλυνα, ἀλλὰ σὺ Παρθένε, οἷα τοῦ ἐλέους θησαύρισμα, τῶν οἰκτιρμῶν σου τοῖς ρείθροις ἀπακάθαρον, τὴν καρδίαν μου, ἐκ τοῦ βορβόρου τῶν ἔργων μου.

Καταβασία. Εἰσακήκοα Κύριε...

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἐν ὥρᾳ νεότητος, ἐδέξω τὸ μαρτύριον, γνώμῃ θεολήπτῳ Ἀθλοφόρε, δόξαν καὶ πλοῦτον ὑπεριδὼν ὡς φθαρτά, καὶ τῶν πάλαι θείων Ἀθλητῶν, ὤφθης ἰσοστάσιος, καθελὼν τὸν ἀντίπαλον.

Ποινῶν οὐκ ἐφρόντισας, οὐδὲ εἱρκτῆς τὴν κάθειρξιν, οὐ θυμὸν κατέπτηξας τυράννων, ἀλλ' εὐγενείᾳ ψυχῆς ἀνώτερος, πάντων ἀνεδείχθης τῶν δεινῶν, Μάρτυς Ἀθανάσιε, καὶ νομίμως ἠγωνισαι.

Ὁ νέος ἐν Μάρτυσιν, ὁπλίτης Ἀθανάσιος, τῆς ἀθανασίας θεῖον ἄνθος, Μακεδονίας τὸ ἐγκαλλώπισμα, καὶ βλαστὸς τοῦ Πύργου ὁ σεπτός, ἀνυμνείσθω σήμερον, ἱεροῖς μελῳδήμασι.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Λυχνία πολύφωτε, τῶν δωρεῶν τοῦ Πνεύματος, Κεχαριτωμένη Θεοτόκε, τὴν σκοτισθεῖσαν ψυχήν μου πάθεσι, λάμπρυνον τῇ σῇ ἐπισκοπῇ, καὶ τὸν νοῦν μου ὕψωσον, πρὸς τὴν θείαν ἀγάπησιν.

Καταβασία. Ὢ τρισμακάριστον ξύλον...

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Λάμπων σοφίας ταῖς χάρισι, καὶ ὥρᾳ τῆς νεότητος Ἅγιε, λαμπρῶς ἐνήθλησας, ὑπὲρ Χριστοῦ Ἀθανάσιε, καὶ ἀθανάτου δόξης, ὤφθης συμμέτοχος.

Ἀγαλλιᾶται τῇ δόξῃ σου, ὁ Πύργος ἡ πατρίς σου καὶ γάνυται, ἐπὶ τῇ μνήμῃ σου, Μάρτυς σοφὲ Ἀθανάσιε, προστάτην κεκτημένη καὶ πολιοῦχόν σε.

Καταβαλὼν τὸν ἀντίπαλον, ὑπέστης δι᾽ ἀγχόνης τὸν θάνατον, ὡς ἄλλου πάσχοντος, καὶ πρὸς ζωὴν τὴν ἀθάνατον, μετέστης Ἀθανάσιε, ἀγαλλόμενος.

Θεοτοκίον.

Ἰσχύν μοι ἄνωθεν βράβευσον, πατεῖν τὰ πονηρὰ μηχανήματα, τοῦ πολεμήτορος, καὶ πολιτεύεσθαι Ἄχραντε, ἐν φόβῳ τοῦ Κυρίου, καὶ σεμνοῖς ἤθεσι.

Καταβασία. Νοτίου θηρός...

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Μαρτυρίαν ἤνυσας, γνώμῃ ἐνθέῳ τὸν δρόμον, καὶ στεφάνων ἔτυχες, τῶν ἀθανάτων ἀξίως· ὅθεν σε, ὡς τοῦ Σωτῆρος Μάρτυρα νέον, μέλποντες, τὴν ἄθλησίν σου ἀνευφημοῦμεν, Ἀθανάσιε θεόφρον, τὸν στεφοδότην Χριστὸν δοξάζοντες.

Ὁ Οἶκος.

Ὥσπερ ἄνθος εὐῶδες ἐξήνθησας, τῷ λειμῶνι τῆς πίστεως Ἅγιε, εὐωδιάζων τοὺς πιστούς, ἀρώμασι τοῖς νοητοῖς, τῆς σῆς ὑπὲρ Χριστοῦ ἁγίας μαρτυρίας· τούτου γὰρ τὸ σωτήριον ὄνομα, ἀκαταπλήκτῳ ψυχῇ, καὶ εὐτόλμοις χείλεσιν, ἐπὶ ἀπίστων τυράννων καὶ κριτῶν ὁμολόγησας, τῶν πάλαι Ἀθλητῶν τῆς εὐσεβείας, χαρα-

www.tezaurliturgic.ro



κτηρίσας τὴν ἀξιύμνητον ἀνδρείαν καὶ παρρησίαν· καὶ ἀνώτερος ποινῶν, καὶ ἀπειλῶν καὶ ἐπαγγελιῶν, ὡς τῷ Σωτῆρι Χριστῷ τῷ νοῒ ἀτενίζων, γενόμενος Ἀθανάσιε, ὡς ἀπαρχὴν ἀθανάτου ζωῆς, τὸν δι' ἀγχόνης ἐδέξω θάνατον· διὸ φιλομαρτύρων χοροί, τὴν μακαρίαν σου ἀνυμνοῦμεν ἄθλησιν, τὸν στεφοδότην Χριστὸν δοξάζοντες.

## Συναξάριον.

Τῇ η', τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἀθανασίου τοῦ ἐκ Κουλιακιᾶς, (νῦν δὲ Πύργου) καταγομένου, καὶ ἐν Θεσσαλονίκῃ ἀθλήσαντος ἐν ἔτει αψοδ'. (1774).

Στίχ. Ἀθανασίῳ ἀγχόνη ὤφθη κλίμαξ
Δι' ἧς ἀνῆλθεν οὐρανοῦ εἰς τὸ πλάτος.
Ἀθανάσιος θεόφρων ὀγδοάτῃ τέτληκε βρόχον.

Οὗτος ὁ νέος τοῦ Χριστοῦ Ἀθλητὴς καὶ τῆς ἀθανασίας ἐπώνυμος Ἀθανάσιος, ἦν ἔκ τινος κωμοπόλεως, ἥτις πάλαι μὲν ἐκαλεῖτο Κουλιακιά, ἢ Χαλάστρα, νῦν δὲ κέκληται Πύργος, ἐγγὺς οὖσα τῆς Θεσσαλονίκης. Γονεῖς ἔσχεν εὐσεβεῖς καὶ εὐπόρους, ὧν ἡ κλῆσις Πολύχρους καὶ Λουλούδα, παρ' ὧν ἀνατραφεὶς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, ἐξεπαιδεύθη ἐν τῇ τότε γνώσει λιπαρῶς· εὐφυΐᾳ γὰρ νοὸς ἐκοσμεῖτο, καὶ ἤθεσι σεμνοῖς ἐσεμνύνετο· διὸ καὶ ἐμαθήτευσεν ἐν Θεσσαλονίκῃ, παρ' Ἀθανασίῳ τῷ Παρίῳ, καὶ ἐν τῇ τοῦ Ἄθω Σχολῇ, παρὰ σοφοῖς διδασκάλοις. Συκοφαντηθεὶς ἔκ τινων Ἀγαρηνῶν ἐν τῇ πατρίδι αὐτοῦ διά τινα διάλογον, ἐνήχθη ἐν Θεσσαλονίκῃ τῷ κριτῇ, παρ' οὗ ἐξεβιάσθη πρὸς ἐξόμοσιν. Ἀλλ' ὁ μακάριος ἀτρέμας, θαρσαλεότητι πολλῇ ὡμολόγησε τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν· καὶ μηδόλως ὑπενδοὺς κολακείαις καὶ ἀπειλαῖς ποινῶν, ὑπέστη τὸν δι' ἀγχόνης θάνατον τῇ η' Σεπτεμβρίου μηνός, τοῦ σωτηρίου ἔτους αψοδ' (1774), τὸ εἰκοστὸν πέμπτον ἔτος τῆς ἡλικίας ἄγων, ἐν πόλει Θεσσαλονίκῃ, καὶ ἐνεταφιάσθη ὑπό τινων Χριστιανῶν ἐν τῇ περιοχῇ τῆς Ἁγίας Παρασκευῆς.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Στόμα ἤνοιξας, τὸ σὸν καὶ ὡμολογήσας, Χριστὸν τὸν Κύριον, ἐπὶ ἀπίστων κριτῶν, σοφὲ Ἀθανάσιε, ἀποσκοπούμενος, τὴν λαμπρότητα, τὴν μέλλουσαν ἣν δίδωσιν, ὁ Σωτὴρ τοῖς αὐτοῦ φίλοις.

www.tezaurliturgic.ro



Γόνος ἅγιος, τοῦ Πύργου Ἀθανάσιε, πέλων ἠγώνισαι, ὑπὲρ Χριστοῦ ἀνδρικῶς, καὶ τούτῳ προσήνεξαι, ὡς θῦμα ἄμωμον· ὅθεν τέρπεται, ἡ σὴ πατρὶς γεραίρουσα, τὴν λαμπράν σου ἀριστείαν.

Ἐθανάτωσας, ἐχθρὸν τὸν πολυμήχανον, τὸν ἐπελθόντα σοι, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, δεξάμενος θάνατον, στερρῷ φρονήματι, Ἀθανάσιε· διὸ ὁ πάντων Κύριος, αἰωνίως σὲ δοξάζει.

Θεοτοκίον.

Ῥάβδος πέφηνας, Ἁγνὴ θεοβλαστούργητος, ὡς ἄνθος εὔοσμον, ὡς Ἡσαΐας φησί, Χριστὸν ἐξανθήσασα, ὑπὲρ κατάληψιν, κόσμῳ πνεύσαντα, ὀσμὴν ζωῆς τῆς κρείττονος, καὶ τὴν θείαν εὐωδίαν.

Καταβασία. Ἔκνοον πρόσταγμα...

Ὠδὴ ζ΄. Παῖδας εὐαγεῖς.

Ἄθλησιν ἠγώνισαι ἁγίαν, ὑστέροις ἐν τοῖς καιροῖς ὦ Ἀθανάσιε, τῶν πάλαι ἑπόμενος, Ἀθλητῶν τοῖς ἴχνεσι, μεθ' ὧν νῦν ἀγαλλόμενος καὶ ἀξιούμενος, ἀρρήτων ἀγαθῶν Νεομάρτυς, μέμνησο τῶν πίστει, τελούντων σου τὴν μνήμην.

Σθένος θεϊκὸν ἐνδεδυμένος, οὐδόλως ἐν ἀσθενείᾳ Μάρτυς φύσεως, ἀπειλὰς καὶ μάστιγας, καὶ εἱρκτὰς κατέπτηξας, ἀλλ' ἀνδρικῷ φρονήματι ἄτρεπτος ἔμεινας, ἐν πᾶσι τοῖς δεινοῖς Ἀθλοφόρε, Κύριον δοξάζων, τὸν σὲ ἐνδυναμοῦντα.

Ἴθυνας ψυχῆς σου τὰς πορείας, πρὸς μόνον τῶν ἐφετῶν τὸ ἄκρον Ἅγιε· ὅθεν καὶ τὸν θάνατον, καρτερῶς ὑπέμεινας· καὶ ἀπαγχονιζόμενος Κυρίῳ ἔλεγες· Δέξαι μου ὦ Σῶτερ τὸ πνεῦμα, καὶ ταῖς τῶν Μαρτύρων, κατάταξον χορείαις.

Θεοτοκίον.

Μήτηρ καὶ Παρθένος καθωράθης, τεκοῦσα σωματικῶς τὸν ἀπερίληπτον, ὡς αὐτὸς ἠθέλησε, μόνη Ἀειπάρθενε, καὶ τὸν Ἀδὰμ ἐρρύσατο τῆς πάλαι πτώσεως· διό σου τὰ πολλὰ μεγαλεῖα, Κόρη ἀνυμνοῦμεν, οἱ διὰ σοῦ σωθέντες.

Καταβασία. Εὐλογεῖτε Παῖδες...

www.tezaurliturgic.ro



Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ὅρμῳ τῆς ζωῆς, τῆς ἄνω προσώρμησαι, αὔραις τοῦ Πνεύματος, ἀκυμάντως Ἅγιε, τοῦ μαρτυρίου πλεύσας τὸ πέλαγος, καὶ ἀθανάτου λήξεως ἐπιλαβόμενος, σὺν Μαρτύρων, δήμοις Ἀθανάσιε, καθορᾷς τοῦ Χριστοῦ τὴν λαμπρότητα.

Ὕψωσας τὸν νοῦν, πρὸς μόνον τὸν Ὕψιστον ἐνθέῳ ἔρωτι, Μάρτυς Ἀθανάσιε, καὶ τὴν ἀγχόνην στερρῶς ὑπέμεινας, ἀπάγξας τοὺς παράφρονας τῇ καρτερίᾳ σου· διὰ τοῦτο, ἀκηράτῳ στέφει σε, ὁ Χριστὸς ἐστεφάνωσεν Ἅγιε.

Μάρτυς ἀληθής, Χριστοῦ ἀναδέδειξαι, ἀθλήσας ἄριστα, μάκαρ Ἀθανάσιε· διὸ τοὺς πίστει σε μακαρίζοντας, ῥῦσαι ἐκ πάσης θλίψεως καὶ περιστάσεως, καὶ νοός μου, λῦσον τὴν σκοτόμαιναν, τῷ φωτὶ τῶν θερμῶν σου δεήσεων.

Θεοτοκίον.

Μέγα καὶ φρικτόν, τῆς κυοφορίας σου, τῆς ὑπὲρ ἔννοιαν, ὄντως τὸ μυστήριον, ὑπάρχει Κόρη Θεοχαρίτωτε· Θεὸν γὰρ ἐσωμάτωσας τὸν Ὑπερούσιον· ὃν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν, τῶν ὑμνούντων τὴν ἄφραστον δόξαν σου.

Μυστικὸς εἶ Θεοτόκε...

Καταβασία. Ὁ διὰ βρώσεως τοῦ ξύλου...

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀθλητικῶς ἐδόξασας, ἐν τοῖς ὑστέροις ἔτεσι, τὸν Βασιλέα τῆς δόξης, τῇ καρτερᾷ σου ἐνστάσει· διό σε Ἀθανάσιε, ὡς Ἀθλητὴν ἀήττητον, ὁ Κύριος ἐδόξασε, καὶ τῆς αὐτοῦ βασιλείας, ἀνέδειξε κληρονόμον.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἀγάλλονται τὰ πέρατα, τῆς οἰκουμένης σήμερον, ἐν τῇ γεννήσει σου Κόρη, Θεοκυῆτορ Μαρία· ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος, καὶ τῆς Προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν.

www.tezaurliturgic.ro



Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Ἄνθος ἡλικίας παριδών, καὶ τερπνῶν ἁπάντων μακρύνας, νοΐ θεόφρονι, Μάρτυς Ἀθανάσιε, χαίρων ἐχώρησας, πρὸς ἀθλήσεως σκάμματα, καὶ κατηγωνίσω, πᾶσαν τὴν ἀντίπαλον, ἐχθρῶν παράταξιν· ὅθεν τὰ βραβεῖα τῆς νίκης, παρὰ τοῦ Χριστοῦ ἐκομίσω, καὶ μαρτύρων δήμοις συνηρίθμησαι.

Ὅτε ἐβιάσθης παρ' ἐχθρῶν, δόλῳ καὶ ποιναῖς ἀρνηθῆναι, Χριστοῦ τὸ ὄνομα, τότε ἀνεκραύγαζες ἐν παρρησίᾳ πολλῇ· Τὸν Χριστὸν καὶ Σωτῆρά μου, ὡς Θεὸν τῶν ὅλων, προσκυνῶ καὶ σέβομαι, ἀνακηρύττω τρανῶς· ὅθεν καὶ νομίμως ἀθλήσας, τῆς ἀθανασίας τὴν δόξαν, εἴληφας θεόφρον Ἀθανάσιε.

Ὅτε δι' ἀγχόνης ἀπηνῶς, δέδεξαι τὸ ἅγιον τέλος, ἀνδρειοτάτῃ ψυχῇ, τότε ἀνελήλυθας πρὸς τὰ σκηνώματα, οὐρανῶν Ἀθανάσιε, καὶ τῆς τῶν Μαρτύρων, δόξης κατηξίωσαι, ὡς Μάρτυς ἔνθεος. Ὅθεν ἐκδυσώπει ἀπαύστως, ὑπὲρ τῶν ἐκ πόθου τελούντων, τὴν σεπτήν σου μνήμην καὶ σεβάσμιον.

Πύργος ἡ πατρίς σου Ἀθλητά, χαίρει τῇ ἁγίᾳ σου μνήμῃ, πανηγυρίζουσα, καὶ τῆς σῆς ἀθλήσεως, μέλπει τὰ σκάμματα, ἐκ καρδίας βοῶσά σοι· Ἀεὶ ἐκδυσώπει, Μάρτυς Ἀθανάσιε, Χριστὸν τὸν Κύριον, ῥύεσθαι κινδύνων καὶ πόνων, καὶ δυσπραγιῶν τε καὶ νόσων, τὴν ἐνεγκαμένην σε κωμόπολιν.

Δόξα. Ἦχος πλ. β´.

Τὸν νέον τοῦ Χριστοῦ Ἀθλητήν, τὸν τῆς ἀθανασίας ἐπώνυμον, Ἀθανάσιον τὸν θεῖον ἀριστέα, ἀθλητικοῖς τιμήσωμεν ᾄσμασι· τῆς ἀληθείας γὰρ τοῖς ὅπλοις, τοῦ ψεύδους τὴν ἀπάτην καθεῖλε, καὶ τῶν πάλαι Μαρτύρων, τὴν ἀρετὴν ἀνεζωγράφησε, ἀθλήσεως πόνοις, τὸν δόλιον ὑποσκελίσας ὄφιν. Αὐτῷ βοήσωμεν· Νεομάρτυς ἔνδοξε, παρρησίαν πρὸς Χριστὸν κεκτημένος, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

www.tezaurliturgic.ro



Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον, τοῦ Ἱερέως τοῦ Μεγάλου· μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις Ἀθανάσιε Ἀθλητά, τῆς Μακεδονίας, φυτὸν νέον καὶ εὐθαλές· χαίροις ὁ τοῦ Πύργου, τῆς σῆς πατρίδος Μάρτυς, προστάτης καὶ μεσίτης, πρὸς τὸν Φιλάνθρωπον.

---

Δίστιχον.

Δέξαι Ἀθανάσιε τόνδε τὸν ὕμνον
Ὅν σοι Γεράσιμος ἐξύφανεν ἤδη.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εἰς τὸν Ἅγιον Νεομάρτυρα ΑΘΑΝΑΣΙΟΝ, τὸν ἐκ κωμοπόλεως Πύργου Θεσσαλονίκης.

ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἀθανάτου εὐκληρίας μετέχων, ὡς Νεομάρτυς τοῦ Χριστοῦ τροπαιοῦχος, ὑπὲρ ἡμῶν δυσώπει Ἀθανάσιε, ῥύεσθαι ἑκάστοτε, πάσης βλάβης καὶ νόσου, καὶ παντοίων θλίψεων, καὶ δεινῶν συμπτωμάτων, τοὺς σὲ προστάτην ἔχοντας θερμόν, καὶ πρὸς τὸν Κτίστην, μεσίτην εὐπρόσδεκτον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

«Τὴν σὴν δίδου μοι Ἅγιε χάριν. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τριάδος λαμπόμενος τῷ φωτί, ταῖς σαῖς φωτοφόροις, Ἀθανάσιε προσευχαῖς, λῦσον τῶν παθῶν ἡμῶν τὸν ζόφον, καὶ εὐφροσύνης τὸ φέγγος ἀνάτειλον.

www.tezaurliturgic.ro



Ηγώνισαι Μάρτυς ἀθλητικῶς, καὶ πᾶσιν ἐδόθης, ἀντιλήπτωρ καὶ ἀρωγός, τοῖς πίστει καὶ πόθῳ προσιοῦσι, τῇ σῇ πρεσβείᾳ κλεινὲ Ἀθανάσιε.

Ἰαμάτων πληρούμενος θεϊκῶν, ἐπόμβρησον Μάρτυς, εὐφροσύνης τὸν γλυκασμόν, τοῖς ἐν τῇ πικρίᾳ καὶ ὀδύνῃ, συνεχομένοις παθῶν Ἀθανάσιε.

Θεοτοκίον.

Σαρκός μου τὰς νόσους τὰς χαλεπάς, θεράπευσον Κόρη, καὶ καρδίας τὴν συντριβήν, καὶ δίδου μετάνοιαν γνησίαν, τῷ προσιόντι θερμῶς τῇ σῇ χάριτι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἡ θερμή σου πρεσβεία, πρὸς τὸν Θεὸν Ἅγιε, γένοιτο πηγὴ θυμηδίας, καὶ πάσης χάριτος, ἡμῖν ἑκάστοτε, ἐπερχομένης ἀνάγκης, ἡμᾶς Ἀθανάσιε, διαφυλάττουσα.

Νοῦν ἀλάστορα Μάρτυς, ἀθλητικῶς ᾔσχυνας· ὅθεν τῆς αὐτοῦ ἐπηρείας καὶ χαλεπότητος, ἡμᾶς ἀπάλλαξον, μαρτυρικῇ σου πρεσβείᾳ, πρὸς τὸν σὲ δοξάσαντα, ὦ Ἀθανάσιε.

Δυσχερείας ἁπάσης, καὶ πολλαπλῶν θλίψεων, καὶ ἐπιφορῶν ἐπωδύνων, καὶ περιστάσεων, ἀτρώτους φύλαττε, τοὺς κεκτημένους σε ῥύστην, Μάρτυς Ἀθανάσιε, τῇ ἀντιλήψει σου.

Θεοτοκίον.

Ἱλαστήριον κόσμου, ὡς ἀληθῶς πέφηνας, τέξασα σαρκὶ Θεοτόκε, τὸν ἀναβλύσαντα, χάριν καὶ ἔλεος· ὃν ἐκδυσώπει μοι δοῦναι, ὧνπερ ἐπλημμέλησα, τὴν ἀπολύτρωσιν.

Διάσωσον ὦ Νεομάρτυς Κυρίου ταῖς σαῖς πρεσβείαις, πάσης βλάβης καὶ συμφορᾶς Ἀθανάσιε, τοὺς τῇ σεπτῇ σου προστρέχοντας προστασίᾳ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτης θερμός, ἐδόθης τῇ πατρίδι σου, ἀθλήσας καλῶς, θεόφρον Ἀθανάσιε· διὸ ἀπαύστως πρέσβευε, ἱλασμὸν καὶ

www.tezaurliturgic.ro



παθῶν ἀπολύτρωσιν, καὶ πταισμάτων ἄφεσιν ἡμῖν, διδόναι τοῖς σπεύδουσι τῇ σκέπῃ σου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Δεσμῶν Μάρτυς ἀπάλλαξον, τῶν ἁμαρτημάτων ταῖς σαῖς δεήσεσι, καὶ ἀγάπῃ θείᾳ σύνδησον, τοὺς σὲ εὐφημοῦντας Ἀθανάσιε.

Οὐρανόθεν ἐπίβλεψον, ἐπὶ τοὺς προστρέχοντας τῇ πρεσβείᾳ σου, καὶ παράσχου Ἀθανάσιε, ὧν αἰτοῦνται Μάρτυς τὴν ἐκπλήρωσιν.

Ὑπελθὼν τὸ μαρτύριον, ἐν ὑστέροις χρόνοις στερρῷ φρονήματι, πρεσβευτὴς ἡμῶν θερμότατος, ὤφθης πρὸς τὸν Κτίστην Ἀθανάσιε.

Θεοτοκίον.

Μαριὰμ Μητροπάρθενε, ἡ τὸν Ζωοδότην Χριστὸν κυήσασα, ζώωσόν με ταῖς πρεσβείαις σου, τὸν νενεκρωμένον πλημμελήμασι.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅρμον γαληνόν, κεκτημένη τὴν πρεσβείαν σου, ἐκλυτροῦται χαλεπῶν τρικυμιῶν, ἡ πατρίς σου Νεομάρτυς Ἀθανάσιε.

Ἴασαι ἡμῶν, Ἀθανάσιε μακάριε, τὰς ὀδύνας καὶ τοὺς πόνους τῆς ζωῆς, καὶ εἰρήνην ἡμῖν αἴτει καὶ ὁμόνοιαν.

Ἄνωθεν ἡμᾶς, ταῖς θερμαῖς σου ἀντιλήψεσι, τῶν παγίδων τοῦ ἀρχαίου πτερνιστοῦ, Ἀθανάσιε ἀτρώτους διαφύλαττε.

Θεοτοκίον.

Γέγονας Ἁγνή, σωματώσασα τὸν Κύριον, τῶν βροτῶν καταλλαγὴ πρὸς τὸν Θεόν, Ἀειπάρθενε καὶ μέγα καταφύγιον.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ἰσχύϊ, τῇ θεϊκῇ ἀριστεύσας, Ἀθανάσιε Χριστοῦ στρατιῶτα, ἰσχὺν ἡμῖν τῇ πρεσβείᾳ σου δίδου, καταπατεῖν τὴν ἰσχὺν τοῦ ἀλάστορος, καὶ ἐν ἰσχύϊ θεϊκῇ, ἐκπληροῦν τοῦ Θεοῦ τὰ ἐντάλματα.

www.tezaurliturgic.ro



Ἐν θλίψει, καὶ συνοχῇ καὶ ἀνάγκῃ, βοηθὸς καὶ ἀντιλήπτωρ καὶ ῥύστης, ἔσο ἡμῖν Ἀθανάσιε Μάρτυς, μεταποιῶν πᾶσαν λύπην καὶ κάκωσιν, εἰς εὐφροσύνην καὶ χαράν, ὡς Χριστοῦ Ἀθλοφόρος ἀήττητος.

Χριστός σε, ὑπὲρ οὗ ἤθλησας χαίρων, παριδὼν τὸ τῆς νεότητος ἄνθος, δέδωκε πᾶσι τοῖς σὲ εὐφημοῦσιν, ἐν ταῖς ἀνάγκαις προστάτην θερμότατον· διὸ προΐστασο ἡμῶν, Ἀθανάσιε Μάρτυς ἑκάστοτε.

Θεοτοκίον.

Ἁγίων, ἁγιωτέρα ὑπάρχεις, καὶ Ἀγγέλων βασιλὶς Παναγία· διὸ κἀμὲ ἐναγῆ ταῖς ἀπάταις, καὶ ἡδοναῖς γεγονότα τοῦ σώματος, καθάρισον ἐκ τῆς φθορᾶς, τὴν ψυχήν μου Ἁγνὴ ἁγιάζουσα.

Διάσωσον ὦ Νεομάρτυς Κυρίου ταῖς σαῖς πρεσβείαις, πάσης βλάβης καὶ συμφορᾶς Ἀθανάσιε, τοὺς τῇ σεπτῇ σου προστρέχοντας προστασίᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον...

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς Ἀθλητὴς τοῦ Χριστοῦ ἐνθεώτατος, καὶ πρεσβευτὴς ἡμῶν μέγας πρὸς Κύριον, δυσώπει ἀεὶ Ἀθανάσιε, ἁμαρτημάτων διδόναι συγχώρησιν, τοῖς πόθῳ τιμῶσι τοὺς ἄθλους σου.

Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
**Στίχ.** Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ

www.tezaurliturgic.ro



δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἤθλησας στερρότατα, ἐν τοῖς καιροῖς τοῖς ὑστέροις, ἀκλινεῖ φρονήματι, Μάρτυς Ἀθανάσιε θείῳ ἔρωτι· διὸ νῦν Ἅγιε, ὡς τῆς ἀθανάτου, ἀπολαύων ὡραιότητος, ἀπαύστως πρέσβευε, τῷ σὲ ἐν τοῖς ἄθλοις σθενώσαντι, σθένος ἡμῖν οὐράνιον, δίδοσθαι καὶ χάριν καὶ ἔλεος, ὡς ἂν τῶν ἐν βίῳ, δεινῶν περιγινώμεθα σοφέ, καὶ θεαρέστως ἀνύσωμεν, πᾶσαν τὴν ζωὴν ἡμῶν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ρώμῃ θείᾳ ἀθλήσας, Ἀθανάσιε Μάρτυς ἐχθρὸν κατήσχυνας· καὶ νῦν τῆς ἀθανάτου, ζωῆς ἐπαπολαύων, θανατούντων ἀπάλλαξον, ἐπιφορῶν καὶ παθῶν, τοὺς σὲ ὑμνολογοῦντας.

Ἴδε ὄμματι θείῳ, τοὺς πιστῶς ἱσταμένους πρὸ τῆς Εἰκόνος σου, καὶ δίδου τούτοις Μάρτυς, ὑγείαν καὶ εἰρήνην, καὶ πταισμάτων συγχώρησιν, καὶ χαλεπῶν πειρασμῶν, ἀπαλλαγὴ ταχεῖαν.

Νοσημάτων παντοίων, καὶ ποικίλων κινδύνων, καὶ ἐπιθέσεων, ἐχθροῦ τοῦ ἀοράτου, διάσωσον λιταῖς σου, Ἀθανάσιε ἔνδοξε, τοὺς ἐξαιτοῦντας πιστῶς, τὴν ἀρωγήν σου Μάρτυς.

Θεοτοκίον.

Γέλως πρόκειμαι Κόρη, ταῖς ῥοπαῖς ταῖς ἀτάκτοις τοῦ πολεμήτορος· ἀλλ' ὦ Θεογεννῆτορ, συνέτισον τὸν νοῦν μου, φόβῳ θείῳ καὶ δίδου μοι, μετάνοιαν ἀληθῆ, κἂν τέλει τῷ τοῦ βίου.

www.tezaurliturgic.ro



Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἔχων μεγίστην, πρὸς τὸν Χριστὸν παρρησίαν, δι' ὃν ἤνεγκας τὸν θάνατον γενναίως, πλήρου Νεομάρτυς, τὰς τῶν πιστῶν αἰτήσεις.

Ῥάβδῳ παμμάκαρ, τῆς πρὸς Χριστόν σου πρεσβείας, κατασύντριψον τὴν καθ' ἡμῶν μανίαν, τοῦ ἀνθρωποκτόνου, ὦ νέε Ἀθλοφόρε.

Ἀγαλλιᾶται, ἡ σὲ βλαστήσασα κώμη, Ἀθανάσιε τῇ σῇ στερρᾷ ἀθλήσει, ἣν ἀπαύστως ῥύου, ἁπάσης δυσπραγίας.

Θεοτοκίον.

Σὺ εἶ Παρθένε, τῶν γηγενῶν σωτηρία, ὡς κυήσασα τὸν τοῦ παντός, Σωτῆρα, ὅθεν κἀμὲ σῶσον, ὡς βρύσις τοῦ ἐλέους.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἱλέωσαι τὸν Κτίστην, ἡμῖν Νεομάρτυς, τοῖς εὐλαβῶς τῇ πρεσβείᾳ σου σπεύδουσι, καὶ ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Μεγίστων χαρισμάτων, μέτοχος ὑπάρχων, ὡς Νεομάρτυς Κυρίου περίδοξος, χαρίζου πᾶσιν ὑγείαν ψυχῆς καὶ σώματος.

Ὁλόφωτον παστάδα, ἔχων κατοικίαν, ἐν οὐρανοῖς Ἀθανάσιε ἔνδοξε, ἐπινοιῶν τῶν τοῦ σκότους ἡμᾶς ἀπάλλαξον.

Θεοτοκίον.

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Θεοτόκε, χαμαιπετῶν νοημάτων τοῦ ὄφεως, καὶ τοῦτον πλήρωσον Κόρη θείας ἐλλάμψεως.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Χαίροις Ἀθανάσιε Ἀθλητά, ὁ νέος ὁπλίτης, παρατάξεως τοῦ Χριστοῦ, τῆς ἀθανασίας, τὸ πανευῶδες ἄνθος, τὸ τέρπον καὶ εὐφραῖνον, τοὺς εὐφημοῦντάς σε.

Γνώσει διαλάμπων τῇ ἀληθεῖ, ἤσχυνας τὸν δόλον, τοῦ Βελίαρ τὸν κατὰ σοῦ, καὶ στερρῶς ἀθλήσας, φρονήματι ἀνδρείῳ, γερῶν τῶν ἀθανάτων, Μάρτυς ἠξίωσαι.

www.tezaurliturgic.ro



Τὸν Χριστὸν δοξάσας μαρτυρικῶς, ἤνεγκας γενναίως, Ἀθανάσιε Ἀθλητά, διὰ τῆς ἀγχόνης, τὸν θάνατον θεόφρον, καὶ ἀθανάτου δόξης, ἐπέβης Ἅγιε.

Χαίροις Νεομάρτυς τοῦ Ἰησοῦ, τῶν πάλαι Μαρτύρων, ἰσοστάσιος ἐν παντί· νεόδρεπτον κρίνον, Χριστοῦ τῆς Ἐκκλησίας, τῆς πλάνης ἀπελαῦνον, ὀσμὴν ψυχόλεθρον.

Ἔχων παρρησίαν πρὸς τὸν Χριστόν, μὴ παύσῃ πρεσβεύων, Ἀθανάσιε Ἀθλητά, πάσης λυτρωθῆναι, ἀνάγκης τε καὶ βλάβης, τοὺς πόθῳ προσιόντας, τῇ ἀντιλήψει σου.

Ὡς τῆς ἀθανάτου ζωῆς τρυφῶν, ἐν ἀγαλλιάσει, Ἀθανάσιε Ἀθλητά, ἐκ πάσης πικρίας, καὶ λύπης καὶ ὀδύνης, ἀτρώτους ἡμᾶς τήρει, ταῖς ἱκεσίαις σου.

Πᾶσαι τῶν Ἀγγέλων...

Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Νέε τοῦ Σωτῆρος Ἀθλητά, ὁ καταβαλὼν τὸν Βελίαρ, ἀνδρειοτάτῃ ψυχῇ, Μάρτυς Ἀθανάσιε, ἀξιοθαύμαστε, πειρασμῶν καὶ κακώσεων, καὶ νόσων καὶ πόνων, ψυχῆς τε καὶ σώματος, θερμῇ πρεσβείᾳ σου, ῥῦσαι τοὺς πιστῶς τε τιμῶντας, ἐν εἰρηνικῇ καταστάσει, καὶ χαρᾷ διέπων τὴν ζωὴν ἡμῶν.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

---

Δίστιχον.

Δέξαι Ἀθανάσιε τὰς ἱκεσίας
Ἃς σοι Γεράσιμος τανῦν ἀναπέμπει.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ
## Εἰς τὸν Ἅγιον Νεομάρτυρα ΑΘΑΝΑΣΙΟΝ τὸν ἐκ Πύργου (Κουλιακιᾶς)

---

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τὸν τοῦ Σωτῆρος τροπαιοῦχον Νεομάρτυρα
Ἀθανασίας τὸν ἐπώνυμον καὶ μέτοχον
Ἀνυμνήσωμεν συμφώνως ἀναβοῶντες·
Παρρησίαν κεκτημένος πρὸς τὸν Κύριον
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Μάρτυς Ἀθανάσιε.

Ἄγγελος ἐν ἀθλήσει, Ἀθανάσιε ὤφθης, κηρύττων τὸν Σωτῆρα καὶ Κτίστην, (ἐκ γ΄) καὶ τῇ θεοσόφῳ σου φωνῇ, τῆς ἀσεβείας τὴν πλάνην διήλεγξας· διό σε μακαρίζομεν, Νεομάρτυς ἀναβοῶντες·

Χαῖρε δι᾽ οὗ Χριστὸς ἐδοξάσθη
Χαῖρε δι᾽ οὗ ἐχθρὸς κατεπλάγη
Χαῖρε ἀπανθούσης εὐκλείας ὑπέρτερε
Χαῖρε βασιλείας ἀλήκτου συμμέτοχε
Χαῖρε ὕψος σταθερότητος εὐγενείας ψυχικῆς
Χαῖρε βάθος τῆς τοῦ Πνεύματος χορηγίας θεϊκῆς
Χαῖρε ὅτι καθεῖλες τοῦ Βελίαρ τὴν πλάνην
Χαῖρε ὅτι παρέχεις τὴν σωτήριον χάριν
Χαῖρε ἀμνὸς Χριστοῦ ὁ νεόθυτος
Χαῖρε λαμπτὴρ ἡμῶν ὁ νεόφωτος
Χαῖρε δι᾽ οὗ ἡ πατρίς σου χορεύει
Χαῖρε πρὸς ὃν ἐν παντὶ καταφεύγει

Χαίροις Μάρτυς Ἀθανάσιε.

www.tezaurliturgic.ro



Βλέποντες νεανίαν, ἐν σεμνῇ πολιτείᾳ, ἐμπρέποντα οἱ πλάνοι σε Μάρτυς, ἐπῆλθόν σοι δολίαις φωναῖς, τῆς τοῦ Χριστοῦ σε ἀποστῆσαι πίστεως· σὺ δὲ ὡς στῦλος ἄσειστος, διέμεινας Χριστῷ κραυγάζων·

'Αλληλούϊα.

Γνώσει τῇ κάτω μάκαρ, σεαυτὸν ἐκγυμνάσας, ἐπλήσθης οὐρανίου σοφίας· ἐντεῦθεν λόγοις σου ἱεροῖς, τὴν ἀλογίαν τῶν ἐχθρῶν κατήσχυνας· διὸ ὡς 'Αθλοφόρον σε, Χριστοῦ τιμῶντες ἐκβοῶμεν·

Χαῖρε ὁ νέος τῇ ἡλικίᾳ
Χαῖρε ὁ ἔμφρων ἐν τῇ σοφίᾳ
Χαῖρε τῆς παιδείας τῆς θύραθεν ἔμπλεως
Χαῖρε τῆς σοφίας τῆς θείας συμμέτοχος
Χαῖρε κλῆμα τὸ γλυκύκαρπον τῆς ἀμπέλου τῆς ζωῆς
Χαῖρε βότρυς ὁ παμπέπειρος τῆς ἀθλητικῆς τιμῆς
Χαῖρε ὅτι βλυστάνεις τὸ οὐράνιον νέκταρ
Χαῖρε ὅτι ἐκφαίνεις τὸ θεόσδοτον κέρας
Χαῖρε Χριστοῦ κηρύξας τὸ ὄνομα
Χαῖρε ἐχθροῦ ἐλέγξας τὸ φρόνημα
Χαῖρε Θεοῦ τῆς ἀγάπης ὁ πλήρης
Χαῖρε φωτὸς εὐσεβείας ὁ κήρυξ

Χαίροις Μάρτυς 'Αθανάσιε.

Δύναμιν οὐρανίαν, ἔχων ἐν τῇ καρδίᾳ, οὐκ ἔδεισας ἐχθρῶν τὴν μανίαν, ἀλλ' ἀδειμάντῳ Μάρτυς ψυχῇ, τὸν δυνατὸν ἐν κακίᾳ κατέβαλες, θεόφρον 'Αθανάσιε, Χριστῷ ψάλλων ἐν εὐφροσύνῃ·

'Αλληλούϊα.

Ἔλαμψας ἐν ἐσχάτοις, 'Αθανάσιε χρόνοις, ὡς σέλας φαεινὸν εὐσεβείας, ἀθλήσας στερρῶς ὑπὲρ Χριστοῦ, ὡς γεηρῶν φρονημάτων ἀνώτερος, καὶ τῷ φωτὶ τῶν ἄθλων σου, καταπυρσεύεις τοὺς βοῶντας·

Χαῖρε τὸ ἄστρον τῆς εὐσεβείας
Χαῖρε ὁ λύχνος τῆς ἀληθείας
Χαῖρε λαμπηδὼν 'Εκκλησίας νεόφωτος
Χαῖρε 'Αθλητὴς τοῦ Σωτῆρος νεόλεκτος

www.tezaurliturgic.ro



Χαῖρε ὅτι ἀπημαύρωσας τῆς ἀπάτης τὴν ἰσχὺν
Χαῖρε ὅτι πᾶσιν ἔφανας εὐσεβείας τὴν αὐγὴν
Χαῖρε τῶν Ἀθλοφόρων μιμητὴς νικηφόρος
Χαῖρε τῆς ἀληθείας εὐκλεὴς Ἀθλοφόρος
Χαῖρε ἐχθρῶν πατήσας τὴν ἔνστασιν
Χαῖρε Χριστοῦ ἐκφαίνων τὴν ἔλλαμψιν
Χαῖρε χαρᾶς κοινωνῶν τῆς ἀρρήτου
Χαῖρε ροπῆς νικητὴς ὀλεθρίου

Χαίροις Μάρτυς Ἀθανάσιε.

Ζήλῳ πεπυρσευμένος, εὐσεβείας ἁγίῳ, παρεῖδες ἐναγεῖς ὑπολήψεις, καὶ πίστει καὶ ἀγάπῃ θερμῇ, πρὸς τὸν Δεσπότην τῶν ὅλων ἠρίστευσας, παμμάκαρ Ἀθανάσιε, ἀθλητικῶς αὐτῷ κραυγάζων·

Ἀλληλούϊα.

Ἥλιος νέος ὤφθης, ὡς ἐσχάτοις τοῖς χρόνοις, ἀθλήσας τῇ Χριστοῦ Ἐκκλησίᾳ· τοῦ γὰρ σκότους Μάρτυς τὴν ἰσχύν, θριαμβεύσας φωτοφόρῳ ἀθλήσει σου, λαμπρύνεις Ἀθανάσιε, τοὺς εὐλαβῶς σοι ἐκβοῶντας·

Χαῖρε ὁ νέος Χριστοῦ ὁπλίτης
Χαῖρε ὁ ἔνδοξος στεφανίτης
Χαῖρε στρατιῶτα Κυρίου ἀήττητε
Χαῖρε ἀθλονῖκα ἐν πᾶσι περίδοξε
Χαῖρε φοίνιξ ὁ κατάκαρπος εὐκαρπίας μυστικῆς
Χαῖρε ξίφος τὸ τομώτατον προσπαθείας ὑλικῆς
Χαῖρε ὅτι ἐπήρθης πρὸς οὐράνιον δόξαν
Χαῖρε ὅτι λαμπρύνεις τὴν σὴν πάτριον χώραν
Χαῖρε θεσμῶν τῆς ὕλης ὑπέρτερος
Χαῖρε κλεινὸς ἐν πᾶσι καὶ ἔκλαμπρος
Χαῖρε υἱοὺς τοὺς τῆς Ἄγαρ αἰσχύνας
Χαῖρε πιστοὺς εὐφροσύνης ἐμπλήσας

Χαίροις Μάρτυς Ἀθανάσιε.

Θεολήπτῳ σου γλώσσῃ, τὴν Χριστώνυμον κλῆσιν, σαφῶς ἐπὶ ἀπίστων κηρύξας, τῆς πίστεως ἐκφαίνεις αὐτοῖς, τὴν ζωηφόρον λαμπρότητα Ἅγιε· θανεῖν γὰρ προθυμότατα, ὑπὲρ Χριστοῦ προείλου ψάλλων·

www.tezaurliturgic.ro



Ἀλληλούϊα.

Ἴσχυνας ὑπομεῖναι, πίστεως δυναστείᾳ, θυμὸν ἰταμωτάτων τυράννων· ἐνδεδυμένος γὰρ τὸν Χριστόν, ὑπὲρ αὐτοῦ ἠγωνίσω στερρότατα, ἐνισχύων πρεσβείαις σου, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε ἰσχὺν ἐχθρῶν θριαμβεύσας
Χαῖρε θυμὸν τυράννων ἐκλύσας
Χαῖρε μαρτυρίου ἀνύσας τὰ σκάμματα
Χαῖρε ἀσεβείας ἐκτρέψας τὰ ἅρματα
Χαῖρε ἄνθραξ θείας πίστεως φλέξας ὕλην δυσσεβῶν
Χαῖρε κρήνη ἡ βλυστάνουσα ὕδωρ θείων δωρεῶν
Χαῖρε ὅτι παρεῖδες τῆς νεότητος ἄνθος
Χαῖρε ὅτι καθεῖλες ἀσεβείας τὸ κράτος
Χαῖρε πατῶν τὴν πλάνην τὴν βέβηλον
Χαῖρε λαβὼν τὸν ἄφθαρτον στέφανον
Χαῖρε δι' οὗ ὁ ἐχθρὸς ἐτροπώθη
Χαῖρε δι' οὗ πᾶς πιστὸς ἐπερώσθη

Χαίροις Μάρτυς Ἀθανάσιε.

Κόσμου λιπὼν ἡδέα, καὶ νεότητος ὥραν, ὡς ὄναρ καὶ σκιὰν ἐλογίσω, καὶ προθύμως ὑπὲρ τοῦ Χριστοῦ, σεαυτὸν εἰς θάνατον Μάρτυς δέδωκας· καὶ νῦν ζωὴν ἀθάνατον, τρυγᾷς σὺν Ἀγγέλοις προσάδων·

Ἀλληλούϊα.

Λάμπεις τῇ σῇ πατρίδι, ἑωσφόρος ὡς ἄλλος, ὦ Ἀθανάσιε Νεομάρτυς, καὶ πληροῖς τῶν σῶν συμπολιτῶν, τὰ αἰτήματα ἑκάστοτε Ἅγιε· διὸ τὴν προστασίαν σου, κηρύττοντες ἀναβοῶμεν·

Χαῖρε τὸ μύρον τῆς εὐωδίας
Χαῖρε τὸ κρίνον τῆς ἀφθαρσίας
Χαῖρε Μακεδόνων τὸ νέον ἀγλάϊσμα
Χαῖρε τῆς ἰδίας πατρίδος διάδημα
Χαῖρε μάρτυς καρτερώτατος παρατάξεως Χριστοῦ
Χαῖρε γέρας θεοδώρητον τοῦ θεόφρονος λαοῦ
Χαῖρε ὅτι ἀπώσω σοφιστείας τοῦ πλάνου
Χαῖρε ὅτι ὑψώθης τῆς ἀπάτης τοῦ κόσμου
Χαῖρε χοροῦ Μαρτύρων ἰσότιμε

www.tezaurliturgic.ro



Χαῖρε σεπτῶν ᾽Αγγέλων συνόμιλε
Χαῖρε τῆς σῆς ἀντιλήπτωρ πατρίδος
Χαῖρε αὐγὴ οὐρανίου ἀκτῖνος

Χαίροις Μάρτυς ᾽Αθανάσιε.

Μηδαμῶς δειλιάσας, τὸν θυμὸν τῶν τυράννων, καὶ πᾶσαν ἀπειλὴν τῶν βασάνων, ἐχώρησας ὅλῃ τῇ ψυχῇ, πρὸς τὸν ἀγῶνα τὸν μέγιστον ῞Αγιε, ἐν ᾧπερ καὶ ἠρίστευσας, ᾽Αθανάσιε Χριστῷ κράζων·

᾽Αλληλούϊα.

Νέον ὡς ᾽Αθλοφόρον, ἡ Χριστοῦ ᾽Εκκλησία, καὶ μάρτυρα αὐτοῦ νικηφόρον, τιμᾷ σε καὶ γεραίρει φαιδρῶς, λαμπρυνομένη τῇ θείᾳ ἀθλήσει σου, ἣν φύλαττε ἀκλόνητον, βοῶσάν σοι Μάρτυς ἐν πίστει·

Χαῖρε ἡ δόξα τῆς ᾽Εκκλησίας
Χαῖρε ἡ πτῶσις τῆς δυσσεβείας
Χαῖρε ἀφθαρσίας φυτὸν εὐθαλέστατον
Χαῖρε εὐσεβείας τὸ κρίνον τὸ εὔοσμον
Χαῖρε νέος ἐν τοῖς Μάρτυσι τοῦ Σωτῆρος ἀριστεὺς
Χαῖρε πάσης ἡμῖν χάριτος ἐκ Θεοῦ ὁ παροχεὺς
Χαῖρε ὅτι τὸ κάλλος θεωρεῖς τοῦ δολίου
Χαῖρε πιστῶν τὸ νέον ἑδραίωμα
Χαῖρε ἡμῶν ἀτίνακτον ἔρεισμα
Χαῖρε ζωῆς κληρονόμε ἀλήκτου
Χαῖρε φωτὸς θεωρὲ Τρισηλίου

Χαίροις Μάρτυς ᾽Αθανάσιε.

Ξενωθεὶς τῶν ἐν κόσμῳ, ᾠκειώθης Κυρίῳ, ἀθλήσας δι᾽ αὐτὸν στερροψύχως· αὐτῷ οἰκείωσον καὶ ἡμᾶς, ᾽Αθανάσιε ταῖς σαῖς παρακλήσεσιν, ὡς ἂν οἱ εὐφημοῦντές σε, ἀναβοῶμεν τῇ Τριάδι·

᾽Αλληλούϊα.

Ὅλος ἔνθους ἐδέξω, δι᾽ ἀγχόνης τὸ τέλος, τὸν κάλλιστον τελέσας ἀγῶνα, καὶ πρὸς τὸν ἀθλοθέτην Χριστόν, νικηφόρος ἀνελήλυθας ῞Αγιε, ὑπὲρ ἡμῶν δεόμενος, τῶν ἐκβοώντων σοι τοιαῦτα·

www.tezaurliturgic.ro



Χαῖρε Ἀγγέλων ὁ συμπολίτης
Χαῖρε βραβεῖα λαβὼν τῆς νίκης
Χαῖρε τὸν ἀγῶνα τελέσας τὸν κάλλιστον
Χαῖρε τὸν Βελίαρ αἰσχύνας τὸν κάκιστον
Χαῖρε στήριγμα νεότευκτον εὐσεβῶν Χριστιανῶν
Χαῖρε ἥττημα καὶ σύντριμμα δυσσεβῶν Ἀγαρηνῶν
Χαῖρε ὅτι ἀνδρείως τὴν ἀγχόνην ὑπέστης
Χαῖρε ὅτι ἐνδόξως πρὸς τὰ ἄνω μετέστης
Χαῖρε Χριστοῦ ὁρῶν τὴν λαμπρότητα
Χαῖρε ἐχθροῦ σοβῶν τὴν κακότητα
Χαῖρε τοῦ θείου νυμφῶνος οἰκήτωρ
Χαῖρε ἁπάντων ἡμῶν ἀντιλήπτωρ

Χαίροις Μάρτυς Ἀθανάσιε.

Πᾶσαν ἤνεγκας θλῖψιν, καὶ εἱρκτὴν καὶ κακώσεις, νευρούμενος τῷ πόθῳ Κυρίου, Ἀθανάσιε Νεομάρτυς, ὑπερφρονήσας ἀκμῆς τῆς νεότητος· διὸ δόξα ἡ ἄρρητος, ἐδέξατό σε ἐκβοῶντα·

Ἀλληλούϊα.

Ῥόδον ἀθανασίας, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐδείχθης ἀνενδότως ἀθλήσας, Ἀθανάσιε Μάρτυς Χριστοῦ, καὶ ἀθανάτοις ὀδμαῖς τε καὶ χάρισιν, εὐφραίνεις τὰς ψυχὰς ἡμῶν, τῶν ἐκβοώντων σοι ἐκ πόθου·

Χαῖρε τὸ ῥόδον τῆς ἀφθαρσίας
Χαῖρε τὸ ἄνθος τῆς θυμηδίας
Χαῖρε ψυχικῆς εὐσθενείας ὑπόδειγμα
Χαῖρε εὐσεβοῦς μαρτυρίας ἐκτύπωμα
Χαῖρε ἄσταχυς πολύφορος μυστικῆς συγκομιδῆς
Χαῖρε αὔρα ἡ ζεφύριος νοητῆς ἀναψυχῆς
Χαῖρε ὅτι λυτροῦσαι πειρασμῶν πολυτρόπων
Χαῖρε ὅτι ἐξαίρεις συμφορῶν ψυχοφθόρων
Χαῖρε πιστῶν προπύργιον ἄσειστον
Χαῖρε Χριστοῦ ὡραῖον ὀσφράδιον
Χαῖρε παθῶν διαλύων τὸν ζόφον
Χαῖρε ψυχῶν θεραπεύων τὸν πόνον

Χαίροις Μάρτυς Ἀθανάσιε.

www.tezaurliturgic.ro



Στέφανον ἀφθαρσίας, ἐκ χειρῶν τοῦ Κυρίου, ἐδέξω ὡς νομίμως ἀθλήσας, καὶ Μαρτύρων ἡνώθης χοροῖς, οἷάπερ Μάρτυς Χριστοῦ ἀκαθαίρετος, παμμάκαρ Ἀθανάσιε, σὺν αὐτοῖς ἀπαύστως κραυγάζων·

Ἀλληλούϊα.

Τῇ ἀγχόνῃ ἐπέβης, ὥσπερ κλίμακι Μάρτυς, καὶ ἤρθης πρὸς οὐράνιον ὕψος, σῶμα δὲ τὸ ἀθλητικόν, εὐσεβῶν χοροὶ εὐσχήμως ἐκήδευσαν, θαυμάζοντες τοὺς ἄθλους σου, καὶ βοῶντές σοι γηθοσύνως·

Χαῖρε ἡ ἔμπνους ἀνδρείας στήλη
Χαῖρε τῆς πίστεως θεία νίκη
Χαῖρε ὁ τῶν πάλαι Μαρτύρων ὁμότροπος
Χαῖρε τῶν Ἁγίων ἁπάντων ὁμόσκηνος
Χαῖρε νέος μὲν τῷ σώματι, τῇ ψυχῇ δὲ πολιὸς
Χαῖρε πλάνης τῆς φαυλότητος καθαιρέτης κραταιὸς
Χαῖρε ὅτι Μαρτύρων ἠριθμήθης τοῖς δήμοις
Χαῖρε ὅτι καρδίας τὰς ἐν ζόφῳ λαμπρύνεις
Χαῖρε ἐχθροῦ ὁ λύων ἐπήρειαν
Χαῖρε δεινὴν ὁ τρέπων κατήφειαν
Χαῖρε παθῶν κατευνάζων τὴν ζάλην
Χαῖρε ζωὴν μεταβάλλων τὴν φαύλην

Χαίροις Μάρτυς Ἀθανάσιε.

Ὕμνοις ἐπινικίοις, κατὰ χρέος τιμᾷ σε, ὁ Πύργος ἡ πατρίς σου παμμάκαρ, καὶ τῷ σῷ προσιοῦσα ναῷ, πανηγυρίζει τὴν ἁγίαν μνήμην σου, ἣν σκέπε καὶ διάσωζε, ἐκ πάσης θλίψεως βοῶσαν·

Ἀλληλούϊα.

Φλέξον τῶν πρεσβειῶν σου, τῷ πυρὶ Νεομάρτυς, τὴν καθ᾽ ἡμῶν τοῦ πλάνου μανίαν, καὶ δίδου εἰρήνην εὐσταθῆ, καὶ εὐπραγίαν πᾶσαν Ἀθανάσιε, τῇ σὲ ἐνεγκαμένῃ, καὶ μετὰ πόθου σοι βοώσῃ·

Χαῖρε τοῦ Πύργου βλάστημα θεῖον
Χαῖρε ἰσότιμε τῶν Μαρτύρων
Χαῖρε νεολαίας σεμνῆς τὸ στεφάνωμα
Χαῖρε τῆς πατρίδος σου ἅγιον καύχημα

www.tezaurliturgic.ro



Χαῖρε βρύσις ἡ πηγάζουσα ψυχοτρόφον γλυκασμὸν
Χαῖρε ἴον πνέον ἅπασι θεῖον ἀρωματισμὸν
Χαῖρε ὅτι τῶν θείων ἀγαθῶν ἀπολαύεις
Χαῖρε ὅτι παντοίων ἀναγκῶν ἀπαλλάττεις
Χαῖρε Θεὸν ὑμνῶν τὸν Τρισήλιον
Χαῖρε ἐχθρὸν πατῶν τὸν ἀρχέκακον
Χαῖρε Κυρίου λαμπρὸς παραστάτης
Χαῖρε ἡμῶν ἀρωγὸς καὶ προστάτης

Χαίροις Μάρτυς Ἀθανάσιε.

Χάριν θείαν πηγάζει, ἡ ἁγία Εἰκών σου, καὶ πάντας τοὺς πιστοὺς ἁγιάζει, ὁ δὲ σὸς ναὸς ὁ ἱερός, οἷα λιμὴν Ἀθανάσιε πρόκειται, ἐν ᾧ πιστῶς προστρέχοντες, ἐν γαλήνῃ Θεῷ βοῶμεν·

Ἀλληλούϊα.

Ψάλλοντές σου τοὺς ἄθλους, οἱ πιστοὶ Νεομάρτυς, δοξάζομεν Χριστὸν τὸν Σωτῆρα, ὅν περ μὴ παύσῃ ἐκδυσωπῶν, ῥύεσθαι ἡμᾶς πάσης περιστάσεως· οὐ παύομεν γὰρ Ἅγιε, γεραίρειν σε καὶ ἐκβοᾶν σοι·

Χαῖρε τοῦ Πύργου ἔφορος θεῖος
Χαῖρε τῶν πάλαι Μαρτύρων τύπος
Χαῖρε κληρονόμε τῆς ἄνω λαμπρότητος
Χαῖρε καταπέλτα ἐχθροῦ τῆς κακότητος
Χαῖρε καύχημα περίδοξον σῶν πιστῶν συμπολιτῶν
Χαῖρε στέφος καὶ ὡράϊσμα Μακεδόνων εὐλαβῶν
Χαῖρε τῆς Ἐκκλησίας τὸ νεόδμητον τεῖχος
Χαῖρε τῆς ἀφθαρσίας τὸ νεόφυτον ἔρνος
Χαῖρε δι' οὗ παθῶν καθαρθήσομαι
Χαῖρε δι' οὗ Θεῷ προσαχθήσομαι
Χαῖρε πιστῶν ἀγαλλίαμα νέον
Χαῖρε κἀμοὶ θείαν χάριν παρέχων

Χαίροις Μάρτυς Ἀθανάσιε.

Ὦ Χριστοῦ Ἀθλοφόρε, Ἀθανάσιε Μάρτυς, ὁ ἄρτι τὸν Σωτῆρα δοξάσας (ἐκ γ΄) τῆς ἄνω δόξης ὡς κοινωνῶν, τῆς τῶν παθῶν ἀδοξίας ἀπάλλαξον, τοὺς πόθῳ σε γεραίροντας, καὶ τῷ Θεῷ ἀεὶ βοῶντας·

www.tezaurliturgic.ro



Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τὸν τοῦ Σωτῆρος τροπαιοῦχον Νεομάρτυρα
Ἀθανασίας τὸν ἐπώνυμον καὶ μέτοχον
Ἀνυμνήσωμεν συμφώνως ἀναβοῶντες·
Παρρησίαν κεκτημένος πρὸς τὸν Κύριον
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Μάρτυς Ἀθανάσιε.

---

Δίστιχον.

Χαῖρε Ἀθανάσιε σοὶ ἀνακράζει
Γεράσιμος πλέξας σοι τούς δὲ τοὺς στίχους

Δῶρον ἱερὸν πνευματικῶν ἐξ ὕμνων
Παύλου Ποιμένος Βερροίας καὶ Ναούσης
τοῖς τῇ Ἑαυτοῦ Μητροπόλει Ἁγίοις
ὧν λιταῖς φιλάνθρωπε Αὐτὸν φυλάττοις



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro